**+**

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΕΝ ΣΒΙΡ, ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ

**(ἑορταζομένου τῇ 30ῇ Αὐγούστου)**

**Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** Ἅγιον Ὄρος Ἄθως * ͵βιη΄ * 2018 ***

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



**ΤΗ, Λ' ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ**
**ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΕΝ ΣΒΙΡ, ΤΟΥ ΜΥΡΟΒΛΥΤΟΥ**

* * *

## * ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ *

Ἱστῶμεν στίχ. Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς παναγίας Τριάδος, σκεῦος πολύτιμον,
Ἀλέξανδρε ἐδείχθης, ἀπὸ βρέφους εἰσέτι,
καὶ βλέπων ὁσημέραι κόσμου φθοράν,
νουνεχῶς προετίμησας,
ἆραι προθύμως Κυρίου γλυκὺν σταυρόν,
καὶ σκοπεύειν τὰ αἰώνια.

Καρπὸς εὐχῆς σῶν γονέων,
ὤφθης Ἀλέξανδρε,
καὶ τούτων εὐσεβείας,
κληρονόμος ἐγένου,
διὸ τῇ ἡλικίᾳ προκόπτων ἀεί,
καὶ τῇ πίστει προέκοπτες,
ὥστε ἐν χρόνῳ τῷ δέοντι τὸν ζυγόν,
τοῦ Χριστοῦ ὤμοις ἀνείληφας.

Ἀπάσας κόσμου ἠρνήσω,
πάτερ Ἀλέξανδρε,
τὰς ἡδονὰς καὶ μόνον,

τοῦ Χριστοῦ ἐπεπόθεις,
ζυγὸν ἐπὶ τοῖς ὤμοις ἀναλαβεῖν,
καὶ γενέσθαι συνόμιλος,
τῶν ἀσκητῶν εὐσεβείας καὶ ἀρετῶν,
ἀκριβὲς τούτων ἐκτύπωμα.

Ἀγγελικὴν πολιτείαν,
ἐπιποθῶν ἐκ ψυχῆς,
ἔσχες νυμφαγωγόν σου,
Ἄγγελον παραδόξως,
δι' οὗ τῇ ὁδηγίᾳ τοῦ Βαλαάμ,
ἀσφαλῶς Μάνδρᾳ ἔφθασας,
ἔνθα τὸ πρῶτον ἀγῶνας ἀσκητικούς,
ἐπετέλεσας Ἀλέξανδρε.

Πῦρ τῷ πυρὶ ἐπιβάλλων τοῦ θείου ἔρωτος,
ἐν πλήρει μονώσει,
παρὰ Σβὶρ ἐνοικήσας,
χαρίτων ἠξιώθης παρὰ Χριστοῦ,
καὶ μεγίστων ὁράσεων,
ὥσπερ τὸ πάλαι ἐν ὄρει τῷ τοῦ Θαβώρ,
οἱ ἀπόστολοι ἠξίωνται.

Ποιμὴν ἐγένου θεόφρων,
πλήθους πιστῶν μοναστῶν,
οὓς χριστοβλύτοις λόγοις,
καθωδήγεις παμμάκαρ,
διὸ τῇ ἐμφανείᾳ Τριάδος σεπτῆς,
καὶ ἁγνῆς Θεομήτορος,
ὁδηγηθεὶς ᾠκοδόμησας ἱερούς,
οἴκους ὅσιε Ἀλέξανδρε.

Ἐδόξασέ σε μεγάλως,
ὁ στεφοδότης Χριστός,
καὶ ζῶντα καὶ θανόντα,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὁσιώτατε Πάτερ.
Ζῶντα μὲν θαυμασίοις,
πολλοῖς καὶ τρανοῖς,
καὶ θανόντα τὸ σκῆνός σου,
τηρήσας ἄφθαρτον μῦρον ὑπερφυῶς,
ῥέον ὅσιε Ἀλέξανδρε.

Δόξα. Ἦχος β'.

Τοὺς δοξάζοντάς με, ἔφη ὁ Κύριος, κἀγὼ τρανῶς ἀντιδοξάσω. Ὅθεν καὶ ἐπὶ σοὶ πάτερ Ἀλέξανδρε, τῷ ἀπὸ βρέφους ἕως ἐσχάτου γήρως ὡς ἀμνὸς ἄμωμος Τούτῳ πιστῶς ἀκολουθήσαντι συνέβη. Οἶκον γὰρ παγκάθαρον σεαυτὸν ἐργασάμενος, ὡς Ἀβραὰμ τῆς Καινῆς Διαθήκης, τὴν Παναγίαν Τριάδα ὡς ἦν δυνατὸν ἐθεάσω, καὶ τῆς ἁγνῆς Θεομήτορος ὑπὲρ πολλοὺς ἠξιώθης γενέσθαι ὑπερευλογημένος θεατὴς καὶ συνόμιλος. Ὅθεν δικαίως καὶ τὸ ἀσκητικόν σου σκῆνος ὑπὲρ τοὺς νόμους τῆς φθορᾶς ἀδιάλυτον τηρηθέν, ὡς πηγὴ ἀκένωτος μῦρα ἐκβλύζει τοῖς πιστοῖς ἀχειροποίητα. Δι’ ὧν εὐλαβῶς χριόμενοι, δοξάζομεν χαίροντες τὸν σὲ μεγάλως δοξάσαντα καὶ θαυμαστὰ ποιοῦντι ἐσαεὶ Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς Χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ ὁσιακὰ ἀναγνώσματα

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
## (Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## * ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ *

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'.

Ὡς Σαμουὴλ καὶ Πρόδρομος, καρπὸς προσευχῆς τοῖς εὐσεβέσι γονεῦσί σου ἐδόθης παρὰ Θεοῦ, πάτερ θεοφόρε Ἀλέξανδρε. Οὕτω πως ἐνσημανθεὶς ἀοράτῳ νεύσει, δοῦλος πιστὸς Κυρίου ἀνεδείχθης, Ὃν ἐκ ψυχῆς ἠγάπησας καὶ Ὃν ἀεὶ ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Ὡς τετρωμένη ἔλαφος τῷ βέλει τῆς τοῦ Χριστοῦ ἀγάπης, εἰς τὴν ἔρημον ἔδραμες Ἀλέξανδρε, ὅπως εὕρῃς τὴν ἀνάπαυσιν τῆς θεοβλήτου σου ψυχῆς. Ἑκατονταπλασίονα δὲ ἀποδιδοὺς τῆς χαρισθείσης σοι δωρεᾶς, τύπος γέγονας ἀλάνθαστος ἀσκητικῆς διαγωγῆς καὶ μοναχοπρεποῦς βίου. Ὅθεν πλήρης γενόμενος τῶν θείων ἀρετῶν, ἐκληρονόμησας τοῦ Παραδείσου τὴν κατοίκησιν, ἔνθα εὐφραινόμενος, μὴ ἐπιλάθου τῶν εὐλαβῶς τιμώντων σε.

Ἦχος γ'.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τριαδικῆς τε καὶ θεομητορικῆς ἐπισκέψεως τυχὼν πάτερ θεῖε Ἀλέξανδρε, τὴν ὑπερβάλλουσαν καθαρότητα τῆς πολιτείας σου ἐφανέρωσας, δι' ἣν οὕτως δικαίως ὑπερετιμήθης. Νῦν δὲ τῆς τρισηλίου Θεότητος τῷ φέγγει περιλαμπόμενος ἐν τῇ ἄνω Σιών, δὸς καὶ ἡμῖν τοῖς τιμῶσί σε ἐν πόθῳ, ἀπόμοιραν τῆς Χάριτος.

Ἦχος δ'.

Θεὸς θέσει γενόμενος, ὅσιε πάτερ Ἀλέξανδρε, διὰ τῆς θεοφιλοῦς ἀσκήσεώς σου ἐν τῇ ἐρήμῳ τοῦ Σβίρ, παράσχου τοῖς προσκυνοῦσι πιστῶς τὸ ἀδιάφθορον καὶ μυροβλύζον λείψανόν σου, τὴν μυστικὴν καὶ ἁγιαστικὴν χάριν τοῦ Παναγίου Πνεύματος, εἰς σωτηρίαν αἰώνιον καὶ ἁγιασμὸν ἀναφαίρετον.

Δόξα. Ἦχος πλ.α'.

Ὅσιε πάτερ Ἀλέξανδρε, διὰ τὴν ὑπὲρ φύσιν ἄσκησίν σου, ὡς μάρτυρα τῆς συνειδήσεως τιμῶμέν σε· διὰ δὲ τὴν ὑπὸ τῶν ἀσεβῶν ἀθέων βεβήλωσιν τοῦ τιμίου σου λειψάνου, καὶ τοῦ Ὁμολογητοῦ τὴν προσωνυμίαν δικαίως σοι προστιθέαμεν. Θερμῶς δὲ παρακαλοῦμέν σε, μνήσθητι πάντων τῶν τιμώντων σε ὡς φιλότεκνος πατήρ, καὶ πρέσβευε ὅπως καὶ ἡμεῖς μαρτυρικὸν ἔχοντες φρόνημα, διὰ τοῦ βίου ὀρθοδόξως ὁμολογῶμεν ἐμπράκτως, τὴν πρὸς τὴν πάνσεπτον Τριάδα πατροπαράδοτον καὶ σῳζουσαν πίστιν ἡμῶν.

Καὶ νῦν.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος. Τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Προσευχὴν τῶν γονέων σου, ἐπακούσας ὁ Κύριος, σὲ αὐτοῖς Ἀλέξανδρε ἐδωρήσατο, οἳ εὐσεβείᾳ σε θρέψαντες, καλῶς προητοίμασαν, τοῦ γενέσθαι ἐκλεκτόν, ὑπηρέτην τῆς Χάριτος, καὶ

ἀνάκτορον, τῆς Ἁγίας Τριάδος, Ἧς τῆς θέας, ὑπερλόγως ἠξιώθης, ὡς Ἀβραὰμ πάλαι Ὅσιε.

Στίχ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Τῷ πυρὶ ἐκκαιόμενος, θείου ἔρωτος Ὅσιε, τὰ δεσμὰ διέῤῥηξας τὰ κρατοῦντά σε, μένειν ἐν κόσμῳ καὶ ἔδραμες, εὑρεῖν τὴν κατάπαυσιν, ἐν ἐρήμῳ Βαλαάμ, δι᾽ ἀγγέλου ὀφθέντος σοι, ὃν ὁ Κύριος, ἐξαπέστειλεν ὅπως ὁδηγήσῃ, ἀσφαλῶς σε εἰς λιμένα, τῆς σωτηρίας Ἀλέξανδρε.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Τοὺς ἱδρῶτας ἀσκήσεως, ὁ φιλάνθρωπος Κύριος, ὅσιε Ἀλέξανδρε, μετὰ θάνατον, μῦρον εὐῶδες ἠμείψατο, ἐκ θείου λειψάνου σου, ἀναβλύζον διαρκῶς, καὶ στηρίζον τοὺς πίστει σου, ἑορτάζοντας, τὴν πανίερον μνήμην καὶ βοῶντας· ὡς θαυμάσια τὰ ἔργα, σῆς δεσποτείας Φιλάνθρωπε.

Δόξα. Ἦχος πλ.β'.

Τὴν ὑπόσχεσιν Αὐτοῦ ὁ Κύριος τηρήσας τὴν λέγουσαν· Τοὺς δοξάζοντάς με δοξάσω, ὅσιε πάτερ Ἀλέξανδρε, μεγάλως σε ἐτίμησεν καὶ ἐν γῇ καὶ μετὰ θάνατον, ὑπερφυέσιν ἐμφανίσεσι καὶ χαρίσμασιν, ἐξ ὧν μετάδος, δεόμεθα, καὶ ἡμῖν τοῖς εὐλαβῶς τὴν μνήμην σου τιμῶσιν, ἵνα συγκληρονομήσωμεν τοῦ ποθητοῦ Παραδείσου τὴν κατοίκησιν.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.
Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης

Πρὸ γεννήσεως μάκαρ σκεῦος θεῖον προώρισαι,
καὶ τῇ ὁδηγίᾳ Πανάγνου,
θείας γνώσεως πέπλησαι·
ποθήσας δὲ ζωὴν τῶν μοναστῶν,
κατείληφας τὴν μάνδραν Βαλαάμ,
καὶ ἐν Σβὶρ ἐν τέλει ζήσας ἀσκητικῶς,
Τριάδα εἶδες ὅσιε,
Ἧς ἐντολῇ τὴν σὴν Μονήν,
ἵδρυσας καὶ ἠξίωσαι,
τῆς ἀφθαρσίας τοῦ σεπτοῦ,
λειψάνου σου Ἀλέξανδρε.

Θεοτοκίον

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε,
σὺν τῇ φωνῇ ἐσαρκοῦτο,
ὁ τῶν ὅλων Δεσπότης,
ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ,
ὡς ἔφη ὁ δίκαιος Δαβίδ,·
ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,
βαστάσασα τὸν Κτίστην σου.
Δόξα τῷ ἐνοικήσαντι ἐν σοί,
δόξα τῷ προελθόντι ἐκ σοῦ,
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς,
διὰ τοῦ τόκου σου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## * ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ *

Μετὰ τὴν α' στιχολογίαν.
Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Ἀγγέλων τὴν ζωήν, ἐν σαρκὶ ἐπιδείξας, καὶ πάσης ἀρετῆς, οἶκος θεῖος ἐγένου, δοξάσας τὸν Κύριον, Ὃς σφοδρῶς σε ἠγάπησεν, καὶ ἐφάνη σοι, σχήματι θείων Ἀγγέλων, προμηνύων σοι τὴν μετὰ θάνατον δόξαν, παμμάκαρ Ἀλέξανδρε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παράδεισον ἐν γῇ, λογικόν σε φυτεύσας, Χριστὸς ὁ φυτουργός, Παραδείσου τοῦ πρώτου, ἐν μέσῳ σου Δέσποινα, ὡς ζωῆς ξύλον ἔφησε· Ὃν ἱκέτευε, τοῦ τῆς τρυφῆς Παραδείσου, ἀξιῶσαί με, καὶ ἐφ' ὑδάτων ἐκθρέψαι, τερπνῆς ἀναπαύσεως.

Μετὰ τὴν β' στιχολογίαν.
Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Μιμηθεὶς Ἀλέξανδρε, ἐν τῇ ἀσκήσει, φιλοτίμοις πράξεσι, τοὺς τῆς ἐρήμου ἀθλητάς, τούτων χαρίσματα εἴληφας, καὶ ἐγεγόνεις, πιστῶν ἐγκαλλώπισμα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Χαῖρε θρόνε πύρινε, τοῦ Βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων σε Κόρη πανύμνητε.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Ὑπὲρ πάντα τοῦ κόσμου Χριστὸν ἠγάπησας, καὶ ἐμάκρυνας Πάτερ ἐν ταῖς ἐρήμοις βοῤῥᾶ, πῦρ πυρὶ τῇ σῇ ψυχῇ ἐπιτιθέμενος· ὅθεν ἐγένου

ἐκλεκτόν, σκεῦος Ἀλέξανδρε Θεοῦ, Τριαδικοῦ Ὃς ἐφάνη, ὡς Ἀβραὰμ πατριάρχη, καὶ ὑπὲρ φύσιν σε ἐδόξασε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ἀνείκαστον χάριν τῆς εὐσπλαγχνίας σου, καὶ τὸ ἔνθεον κράτος τῆς δυναστείας σου, Παρθενομῆτορ Μαριὰμ ἐπιστάμενος, ἀναβοῶ σοι ἐκτενῶς, ἐκ πάσης θλίψεως ἐμέ, ἐξάρπασον τὸν σὸν δοῦλον, καὶ ἔμπλησον θυμηδίας, ὅπως ἀνυμνῶ σε Πανύμνητε.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος· *Τί ἀνταποδώσομεν* τῷ Κυρίῳ *περὶ πάντων ὧν ἀνταπέδωκεν* ἡμῖν.

Εὐαγγέλιον, τοῦ Ὄρθρου τοῦ ὁσίου Σάββα.
Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.
Στίχ. *Ἐλέησόν με ὁ Θεός....*
Τὸν θεατὴν τῆς τρισυποστάτου Θεότητος, καὶ τῆς Θεοτόκου εὐλογημένον ἐπόπτην, Ἀλέξανδρον τοῦ Σβίρ ἀσκητὴν τὸν ὁσιώτατον, ὕμνοις τιμῶντες ἐξαιτούμεθα πιστῶς· πρέσβευε πάτερ ἁγιώτατε τῷ ἐλεήμονι Θεῷ Ὃν ἠγάπησας, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:**
*"Ἀλέξανδρον τοῦ Σβίρ, ὑμνῶ ἡγιασμένον. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀλέξανδρον ἄγγελον, μᾶλλον ὑμνήσω ἢ ἄνθρωπον, ἐν Σβὶρ ἐξασκήσαντα, ἔνθα ἠξίωται, τὴν ὑπέρθεον, ἰδεῖν σεπτὴν Τριάδα, Ἧς οἶκος ἐγένετο, ὑπερφανέστατος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Λαμπρά σου ἡ γέννησις, λύσασα χρόνιον στείρωσιν, μητρός σου Ἀλέξανδρε, ἥτις τὸν Κύριον, ἐπὶ μήκιστον, ἐδέετο ὡς Ἄννα, βοῶσα καὶ λέγουσα· δὸς τέκνον Δέσποτα.

Ἐδόθη σοι ἄνωθεν, ὁ φωτισμὸς θείου Πνεύματος, καὶ λέλυται γνώσεως δεσμὸς Ἀμὼς παιδικός, ὅθεν αἴνεσιν, ἀπέδωκας Κυρίῳ, ἀσόφους σοφίζοντι, τῇ θείᾳ χάριτι.

Θεοτοκίον

Ξενίζοντα ἅπαντα, τὰ τῆς λοχείας σου Πάναγνε, καθότι κατήργηνται, οἱ νόμοι φύσεως· ὅπου βούλεται, Θεὸς γὰρ πᾶσα κτίσις, Αὐτῷ ὑποτάσσεται, ὡς δούλη πάντοτε.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἀγάπη Κυρίου πυρωθεῖσα, Ἀλέξανδρε ἡ νεανική, καρδία σου οὐκ ἤφιε, οὐδόλως ἡσυχάσαι σε, ἀλλ’ ὡς τρωθεῖσα ἔλαφος νυκτὸς ἡμέρας τε, ἐβόας πότε Δέσποτα ἥξω, καὶ τὸν ἐλαφρόν σου, ζυγὸν ἐπ’ ὤμοις ἄρω.

Νικήσας νεότητος τὰ πάθη, ἁγνείᾳ Ἀλέξανδρε ἐνδέδυσαι, ἐφ’ ᾗ ἀναπαύεται, Κύριος ἁγνότατος, καὶ δῶρα ἀδιάφθορα παρέχει ἅπασι, τοῖς βίον Ἀσωμάτων βιοῦσι, καὶ ἐχθρόν πατοῦσι, μισόαγνον γενναίως.

Δοθεὶς χριστοβλήτως τῇ ἀσκήσει, ἐφείλκυσας χάριν τοῦ Θεοῦ, καὶ οὕτω προπεπαίδευσαι, ὡς ἄριστα Ἀλέξανδρε, πρὶν εἰσελθεῖν εἰς τὰ σκάματα, τῶν Μοναζόντων γλυκύπικρα.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥηξάτω τὴν ἄνυδρον ψυχήν μου, ἡ ῥάβδος ἀγάπης σου Ἁγνή, ὅπως ἐκβλύσω δάκρυα, τὰ πάθη μου καθαίροντα, καὶ οὕτω τῷ Κυρίῳ μου, εὐαρεστήσω ὁ ἄθλιος.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Θεῖον δώρημα τοῖς σοῖς γονεῦσιν, θεῖον οἴκημα σεπτῆς Τριάδος, ἀνεδείχθης θεοφόρε Ἀλέξανδρε· ἀσκητικῶς γὰρ ἐν Σβὶρ τεθαυμάστωσαι, βίον ἀγγέλων διελθὼν ἢ ἀνθρώπινον. Ὅθεν Κύριος, μεγάλως ὑπερετίμησε, φυλάττων τὸ σὸν σκῆνος ἀδιάφθορον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παραμύθιον τῶν θλιβομένων, ἱλαστήριον ἁμαρτανόντων, σὺ ἀνεδείχθης μητροπάρθενε Δέσποινα. Τὴν γὰρ βροτῶν σωτηρίαν γεννήσασα, πύργος ἰσχύος πιστοῖς μόνη γέγονας. Ὅθεν κράζομεν· Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ὅλος ἀνεφλέγης πόθῳ Χριστοῦ, ὅτε ἐθεάσω Ἀλέξανδρε, συνευχομένους, ἐπὶ ὄχθην ποταμοῦ, θεόφρονας μονάζοντας, πρὸς οὓς καρδίαν σου ἤνοιξας.

Νεκρωθεὶς τοῦ κόσμου ταῖς ἡδοναῖς, μόνον τὸν Χριστὸν ἐπεπόθησας, εὐχὴν γονέων, ὑποκλέψας ἐν σπουδῇ, ἐμάκρυνας Ἀλέξανδρε, πρὸς τοῦ ποταμοῦ Σβὶρ τὴν ἔρημον.
Τὴν φωνὴν Κυρίου ἐνωτισθείς, καὶ περιλαμφθεὶς ὅλος Ὅσιε, προφητικῶς σοι, ὑπεδείχθη φανερῶς, ὁ τόπος ἔνθα ἵδρυσας, μετὰ χρόνους Μάνδραν τὴν θείαν σου.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὐκ ἐγκαταλείπεις τοὺς ἐπὶ σοί, τὰς ἐλπίδας ἔχοντας Δέσποινα, ἀλλὰ ποικίλως, ἐν ἀνάγκαις χορηγεῖς, τὴν πλήρωσιν αἰτήσεων, τῷ γλυκεῖ Υἱῷ σου πρεσβεύουσα.

Καταβασία. Εἰσακήκοα, Κύριε.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὑπέδειξε Κύριος, νυμφαγωγὸν οὐράνιον, πρὸς τοῦ Βαλαὰμ τὴν θείαν Μάνδραν, ἔνθα ἀπέπτη ἀπὸ τῶν σῶν ὀφθαλμῶν, ὅσιε Ἀλέξανδρε λιπών, ἔκστασιν καρδίᾳ σου, καὶ χαρὰν ἀνεκλάλητον.

Συνέσει ἠγώνισαι, Ἀλέξανδρε φιλόθεε, ἐν τῷ Βαλαὰμ σεπτῷ σεμνείῳ, συμμονασταῖς σου τὸν θαυμασμὸν προκαλῶν, καὶ τὴν χάριν ἕλκων τοῦ Χριστοῦ, τοῦ διακονήσαντος, ταπεινώσει τὸν ἄνθρωπον.

Βεβαίαν σφραγίσας σου, τὴν θείαν κλῆσιν Ὅσιε, ὁ πνευματικὸς καθοδηγός σου, τὴν εὐλογίαν αὐτοῦ σοι ἔδωκεν, ὅπως κατὰ μόνας ἐφεξῆς, συνεχίσῃς ἄσκησιν, ἐν τῷ τόπῳ ὃν ἔδειξε Κύριος.

Θεοτοκίον

Ἰάτρευσαι Δέσποινα, τὰ πάθη τῆς καρδίας μου, ἅπερ μυστικῶς ἀπομυζοῦσι, πᾶσαν ἰκμάδα τῆς ταλαιπώρου ζωῆς, καὶ χωρίζουσί με τῆς Χριστοῦ, θείας ἐνοικήσεως, προκαλοῦντα τὸν θάνατον.

Καταβασία. Ὢ τρισμακάριστον ξύλον.

Ὠιδὴ ϛ'. Τὴν θείαν ταύτην.

Ῥοαῖς δακρύων σου Ὅσιε, ἀπέπλυνας ψυχῆς πλημμελήματα, καὶ στίλβον κάτοπτρον, τῆς θείας χάριτος γέγονας, τοῖς πᾶσι διαθλάττων τὴν ἁγιότητα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὑπομονὴν ὑπεράνθρωπον, ἐν θλίψεσιν ἐρήμου ἐπέδειξας, πάτερ Ἀλέξανδρε, πᾶσαν τοῦ βίου τὴν μέριμναν, ἐν πίστει τῷ Κυρίῳ ἀνατιθέμενος.

Μοναχικὸν περιβέβληνται, τὸ Σχῆμα οἱ γονεῖς καὶ αὐτάδελφος, πάτερ Ἀλέξανδρε, μεθ' ὧν ἑστὼς εἰς Παράδεισον, μνημόνευε τοὺς ὅσοι, μνήμην σου σέβουσι.

Θεοτοκίον

Νικᾷ τὸ θαῦμα τοῦ τόκου σου, τοὺς νόμους τοὺς τῆς φύσεως Πάναγνε, ὅτι ἐγέννησας, Υἱὸν Θεοῦ ὥσπερ ἄνθρωπον, μόνῃ τῇ ἐπελεύσει Ἁγίου Πνεύματος.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῇ ἐπιμόνῳ καὶ σκληρᾷ σου ἀσκήσει,
οἶκος ἐγένου τῆς Ἁγίας Τριάδος,
ἧς θέας κατηξίωσαι Ἀλέξανδρε σαφῶς·
ὅθεν καὶ ἀνίδρυσας, ἱερὰν ταύτης Μάνδραν,
ἔνθα ὥσπερ ἄγγελος, ἐν σαρκὶ βιοτεύσας,
τὴν ἀφθαρσίαν σκήνους σου σεπτοῦ,
καὶ βλύσιν μύρου, ὡς δῶρα ἀπείληφας.

**Ὁ Οἶκος**

Καρπὸς ἐμπόνου προσευχῆς σῶν σεπτῶν γεννητόρων,
Ἀλέξανδρε ἐσφράγισαι ὥσπερ ἄγγελος θεῖος,
καὶ τῷ πυρὶ τοῦ ἔρωτος Χριστοῦ, καταφλεγεὶς τὴν καρδίαν,
τὸν ἐλαφρὺν ζυγὸν Αὐτοῦ ἐπ' ὤμων σου ἦρας,
καὶ μοναστῶν τὸ Σχῆμα ἐνδυθείς, ὑπερφυέσιν ἀγῶσιν ἐν τῇ ἐρήμῳ τοῦ Σβίρ, τὴν Παναγίαν Τριάδα ὡς ἄλλος Ἀβραὰμ τεθέασαι, ὑφ' Ἧς μεγάλως δεδόξασαι καὶ ζῶν εἰσέτι
καὶ μετὰ τέλος, τὴν ἀφθαρσίαν σκήνους σου σεπτοῦ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ βλύσιν μύρου, ὡς δῶρα ἀπείληφας.

**Τὸ Συναξάριον**

Τῇ Λ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀλεξάνδρου τοῦ ἐν Σβίρ, τοῦ μυροβλύτου καὶ θαυματουργοῦ.

*Στίχοι.*

*Ζῇ ἐν Χριστῷ Ἀλέξανδρος Σβὶρ ὁ μέγας,*
*Ὥσπερ μαρτυρεῖ σκῆνος αὐτοῦ μεγάλως.*

**Ὑπόμνημα**

Οὗτος ὁ ἐν Ὁσίοις μέγιστος Πατὴρ ἡμῶν Ἀλέξανδρος, ὁ Ἀβραὰμ τῆς Καινῆς Διαθήκης, ῥῶσσος τὸ φθαρτὸν γένος, ἔδρασε κατὰ τὸ β' ἥμισυ τοῦ ΙΕ' καὶ τὸ πρῶτον τοιοῦτον τοῦ ΙΣΤ' αἰῶνος εἰς τὴν Θηβαΐδα τοῦ Βορρᾶ. Καρπὸς προσευχῆς τῶν εὐλαβεστάτων γονέων, παρ' ὧν καὶ ἐδιδάχθη τὰ τῆς Ὀρθοδόξου πίστεως ἡμῶν, παιδιόθεν ἔδειξε σημεῖα πρωΐμου φιλοθεΐας, ἣν καλλιεργήσας σὺν τῷ χρόνῳ, ἐπέστεψε διὰ τῆς εἰσόδου εἰς τὸν Μοναχισμόν, καρεὶς ἐν τῇ Ἱερᾷ Μονῇ Βαλαὰμ καὶ συνεχίσας, κατὰ θείαν ἀποκάλυψιν, τὴν ἀσκητικὴν ὁδὸν εἰς τὴν σκληρὰν καὶ ἀπαράκλητον ἔρημον τῆς περιοχῆς τοῦ ποταμοῦ Σβίρ. Ἐκεῖσε ἐν ἄκρᾳ σκληραγωγίᾳ καὶ πτωχείᾳ ἐνασκούμενος ἐγένετο θεόπτης Αὐτῆς ταύτης τῆς Ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, ὡς καὶ τῆς Ὑπεραγίας Θεοτόκου, δι' ὧν τὴν ἐντολὴν μέγα Μοναστήριον ἱδρύσας καὶ πλῆθος μοναχῶν συναγαγών, ἐτελείωσε τὸν ἀσκητικὸν δρόμον πλήρης εὐαγγελικῶν ἀρετῶν. Μετὰ δὲ θάνατον ἠξιώθη τῆς τε ἀφθαρσίας τοῦ ἱεροῦ αὐτοῦ σκηνώματος καὶ τῆς ὑπὲρ φύσιν μυροβλυσίας. Θῦμα δὲ γενόμενος τῆς ἀθεϊστικῆς ἐπαναστάσεως τῶν μπολσεβίκων, καὶ ὡς ἐκ τούτου μετὰ θάνατον Ὁμολογητής, διὰ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ ἁγίου αὐτοῦ λειψάνου, διασωθέντος χάριν τῆς, ἀνεξηγήτου ἰατρικῶς, διατηρήσεως τούτου εἰς φυσικὴν κατάστασιν καὶ τῆς ἐκβλύσεως θείου μύρου, καὶ ἀποῤῥιφέντος εἰς τὰ ὑπόγεια ἀθεϊστικοῦ μουσείου τοῦ Λένιγκραντ, (νῦν Πετρουπόλεως). Ἐκεῖσε εὑρεθέν, μετὰ τὴν πτῶσιν τοῦ κομμουνισμοῦ εἰς 'Ρωσίαν, μετηνέχθη εἰς τὴν αὖθις



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐπανασυσταθεῖσαν Ἱερὰν Μονὴν Αὐτοῦ εἰς Σβίρ, ἔνθα καὶ νῦν προσκυνεῖται, χάριτας προχέον καὶ θαυμάσια παρέχον τοῖς αὐτὸ μετ' εὐλαβείας καὶ πίστεως προσερχομένοις.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων Πατριαρχῶν Κωνσταντινουπόλεως, Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου.**

*Στίχοι.*

*Σχοίνους διαδράς, Ἀλέξανδρε, σαρκίου,*
*Σχοίνισμα κλήρου χρηματίζεις Κυρίου.*

*Σκυθρωπὰ τὰ πρόσωπα τῆς Ἐκκλησίας,*
*Στέρησιν οὐ φέροντα τὴν Ἰωάννου.*

*Δρόμους ὁ Παῦλος ἐκλιπὼν τοὺς τοῦ βίου,*
*Εὕρηκε παῦλαν τῶν πόνον τῶν τοῦ βίου.*
*Τριττὺς τῇ Τριάδι τριακοστῇ νῦν παρὰ ἔστη.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου καὶ θαυματουργοῦ Φαντίνου.**

*Στίχοι.*

*Καὶ γῆν ὑπελθὼν θαυματουργὸς Φαντῖνος,*
*Ἄνωθεν ἡμῖν μάνα θαυμάτων βρύει.*

**Μνήμη τῶν ἁγίων δεκαὲξ Μαρτύρων τῶν Θηβαίων.**

*Στίχοι.*

*Ἐρεῖς ἀριθμοῦ τυγχάνειν ἓξ καὶ δέκα,*
*Τμηθέντας ἄνδρας ἀρτιάκις ἀρτίου.*

**Οἱ ἅγιοι ἓξ Μάρτυρες οἱ ἐν Μελιτηνῇ, ἐν τῇ θαλάσσῃ βληθέντες τελειοῦνται.**

*Στίχοι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἐξάστερόν τι Χριστομαρτύρων σέλας*
*Δύναν θαλάσσης ἔνδον, ἐκλάμπει Πόλῳ.*

**Ὁ ἅγιος ἱρομάρτυς Φῆλιξ, ξίφει τελειοῦται.**

*Στίχοι.*

*Τμηθεὶς κεφαλὴν ἱερὰν λύθρῳ χρίῃ,*
*Καὶ χρῖσμα κοσμεῖ ἱερωσύνης, Φῆλιξ.*

**Ὁ ἅγιος μάρτυς Φουρτουνιανός, ξίφει τελειοῦται.**

*Στίχοι.*

*Οὐ μή με πλήξῃς, ὅστις εἶ, ταχὺς ξίφει,*
*Φουρτουνιανὸς ἐμβριμώμενος λέγει.*

**Ὁ ἅγιος μάρτυς Σεπτιμῖνος, ξίφει τελειοῦται.**

*Στίχοι.*

*Ὁ πάντα σεπτὸς ἐν βίῳ Σεπτιμῖνος,*
*Πάνσεπτον εὗρε καὶ τέλος διὰ ξίφους.*

**Ὁ ἅγιος μάρτυς Ἰανουάριος, ξίφει τελειοῦται.**

*Στίχοι.*

*Ἄιρας φόνου σίδηρον ὁ πνέων φόνου,*
*Αἵρει κεφαλὴν τὴν Ἰανουαρίου.*

**Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σαρματᾶ.**

*Στίχοι.*

*Ἥκει καταπτὰς Ἄγγελος Θεοῦ Λόγου,*
*Λέγων· ἔγειραι, Σαρματᾶ, χαίρων ἕπου.*

**Μνήμη τοῦ ὁσίου Χριστοφόρου τοῦ ἐν Παλαιστίνῃ ἀσκήσαντος.**

*Στίχοι.*

*Ὅπου ὁ Χριστὸς ὡς ἄνθρωπος ἐφάνη,*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἐκεῖ ἤσκησεν ὁ Χριστοῦ Χριστοφόρος.*

**Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Βρυαίνης, τῆς ἐν Νισίβει, γεροντίσσης τῆς ἁγίας ὁσιομάρτυρος Φεβρωνίας**

*Στίχοι.*

*Ἐκ γῆς Βρυαίνη, χαρίτων θείων βρύσις,*
*Μετωχετεύθη ζῶσαν εἰς πηγὴν ἄνω.*

**Μνήμη τοῦ ἁγίου Εὐλαλίου ἐπισκόπου Λαπήθου τῆς Κύπρου.**

*Στίχοι.*

*Εὖ λαλεῖ Εὐλάλιος ὁ τῆς Λαπήθου,*
*Πρὸς Θεὸν Λόγον, Οὗ στόμα χρυσοῦν ἔφυ.*

**Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φύλακος.**

*Στίχοι.*

*Φυλάττων Φύλαξ αἰσθήσεις παθηφόρους,*
*Γέγονεν οἶκος ἀρετῶν θεοφόρος.*

**Μνήμη τῆς ἀνακομιδῆς τοῦ τιμίου λειψάνου τοῦ ἁγίου Ἀλεξάνδρου** Νέφσκυ

*Στίχοι.*

*Μέγαν σε ἔσχεν ἡγεμόνα Ῥωσία,*
*Καὶ νῦν πλουτεῖ σου, Ἀλέξανδρε, τὸ σκῆνος.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ἐπιτελεῖται ἡ Σύναξις πάντων τῶν ἁγίων Ἀρχιεπισκόπων τῆς Σερβίας**

*Στίχοι.*

*Σύνοδος φαιδρὰ Ποιμεναρχῶν Σερβίας,*
*Χριστοφιλήτων καὶ φιλοτέκνων ἅμα.*

**Μνήμη τοῦ ἁγίου Βαρλαὰμ μητροπολίτου Μολδαβίας.**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Στίχοι.*

*Ὥσπερ ὁ Δαβίδ, Βαρλαὰμ Μολδαβίαν,*
*Πρὸς νομὰς ζωῆς κατηύθυνε πανσόφως.*

**Μνήμη τοῦ Ἰωάννου Ράσκα, Μητροπολίτου Ρομάν.**

*Στίχοι.*

*Βοσκήσας καλῶς σὴν ποίμνην, Ἰωάννη,*
*Σκιρτῶν χλοάζεις ἐν Παραδείσου χώρᾳ.*

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ὥσπερ ἄγγελος, βιοὺς πάτερ Ἀλέξανδρε, ἐν τῇ ἐρήμῳ τοῦ Σβίρ, τὴν μῆνιν ἐξήγειρας τοῦ ἀντιδίκου σατάν, ὃς ἐν σχήμασι, ποικίλοις σε ἐπείρασεν, ἀλλ’ ἡττήθη κατὰ κράτος.

Ἡ ὑπέρθεος, Τριὰς ἐφανερώθη σοι, ὥσπερ ποτὲ Ἀβραάμ, ζητήσασα ἵδρυσιν τῆς ἱερᾶς σου Μονῆς, καὶ ἐπλήρωσε, τοῦ θαυμασμοῦ καὶ φόβου σε, καὶ χαρᾶς ἀπείρου Πάτερ.

Γρηγοροῦντί σοι, ἄγγελος Παντοκράτορος τόπον ὑπέδειξεν, ἐν σχήματι μοναστοῦ, οὗ ἔδει ἱδρύσασθαι Μονὴν τῷ μέλλοντι, ὅθεν Ὅσιε, ἀμφιβολίαν ἔλυσε, τὴν κρατοῦσαν τὴν ψυχήν σου.

Θεοτοκίον

Ἰδιαίτατα, ἀκούει σου Πανύμνητε Χριστὸς ὁ Κύριος, ἐκ σοῦ γὰρ σωματωθείς, ἐκτίει τὸ ὄφλημα ὥσπερ εὐγνώμων υἱός, καὶ αἰτήματα, τῶν εὐσεβῶς αἰτούντων σε, ἐκπληροῖ πρὸς τὸ συμφέρον.

Καταβασία. Ἔκνοον πρόσταγμα.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄνθρωπος θνητὸς ὑπάρχω, καθὼς προϋπῆρξαν οἱ πατέρες μου, ἔφης Πάτερ ὅσιε, θάνατον μεμαθηκώς, σοῦ εὐσεβοῦς γεννήτορος καὶ ἔτι ηὔξησας, τὴν ἄσκησιν, ἐν φόβῳ Κυρίῳ, Ὃν περ ἀοράτως, πρὸ ὀφθαλμῶν σου εἶχες.

Σὲ τῇ βαθυτάτῃ ταπεινώσει, ὑψούμενον βλέπων ὦ Ἀλέξανδρε, Κύριος ἐβράβευσε, καί σοι ἐδωρήσατο, ἱερωσύνης χάρισμα, πρὸς μαθητῶν σου χαράν, οὓς συνέσει, ἀληθεῖς ἀπέδειξας, μοναστὰς καὶ πιστά σου ἀντίγραφα.

Μῦλον θαυμαστῇ θεοσημείᾳ, ἀνήγειρας Πάτερ καὶ ἀπέκλεισας, μοναστῶν σου στόματα, κατὰ σοῦ φθεγγόμενα, καὶ ὡς ἐν Χώναις πέπρακεν, ὁ Ἀρχιστράτηγος, Ἀσωμάτων, οὕτω σοι ἐγένετο, τὸν Δεσπότην μεγάλως δοξάζοντι.

Θεοτοκίον

Ἔδειξας Πανάχραντε Παρθένε, τὴν θείαν σου εὐαρέστησιν τῷ δούλῳ σου, ὅτε πεφανέρωσαι, ἐν μεγαλειότητι, αὐτῷ καὶ ἐβεβαίωσας τὴν προστασίαν σου, εἰς αἰῶνας, πρὸς τοὺς Σβὶρ μονάζοντας, τοὺς ἁγίαν Τριάδα δοξάζοντας.

Καταβασία. Αἰνοῦμεν. Εὐλογεῖτε Παῖδες.

Ὠιδὴ θ'. Ἅπας γηγενής.

Νίκας κατ' ἐχθροῦ, παμμάκαρ Ἀλέξανδρε ἐπιδειξάμενος, εἴληφας χαρίσματα, παρὰ Κυρίου Ὅνπερ ἐδόξασας, καὶ παρ' Αὐτοῦ δεδόξασαι, ὑπὲρ Ἁγίους πολλούς, ὡς κατεῖδεν, Δανιὴλ ὁράματι, καὶ ἐν φόβῳ πολλῷ διηγήσατο.
Ὅσιος φανείς, ἐν βίῳ Ἀλέξανδρε καὶ μετὰ θάνατον, τὸ σεπτόν σου σκήνωμα, μῦρον ἐκβλύζει καὶ ἀδιάφθορον, εἰς πεῖσμα τῶν τῆς φύσεως, νόμων μεμένηκεν, καὶ παρέχει, τοῖς πιστοῖς ἰάματα, τοῖς αὐτὸ προσκυνοῦσιν ἐκ πίστεως.

Νῦν ἐν οὐρανοῖς, εὐφραίνῃ Ἀλέξανδρε σὺν τοῖς Ἁγίων χοροῖς, καθὼς εἶδε πρότερον, ὁ μαθητής σου καὶ διηγήσατο· διὸ Κυρίῳ πρέσβευε, ἡμῖν αἰτούμενος, μετανοίᾳ, βίου τὸ ὑπόλοιπον, διελθεῖν καὶ τυχεῖν συγχωρήσεως.

Θεοτοκίον

Ἄχραντε σεμνή, πολλοῖς ἁμαρτήμασι λυπῶ γλυκύν σου Υἱόν, ὅθεν καθικέτευε, ὡς παῤῥησίαν πολλὴν κατέχουσα, διδόναι ὡς Φιλάνθρωπος τούτων τὴν ἄφεσιν, ὅπως χαίρων, ἐφεξῆς πορεύωμαι, καὶ ὑμνῶ τὸ Αὐτοῦ μέγα ἔλεος.

Καταβασία. Μυστικός εἶ Θεοτόκε. Ὁ διὰ βρώσεως τοῦ ξύλου.

Ἐξαποστειλάριον.
Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς παναγίας Τριάδος, οἶκος λαμπρὸς ἀνεδείχθης, Ἀλέξανδρε ἐνασκήσας, ἐν Σβὶρ ὡς ἄγγελος θεῖος, καὶ νῦν μὴ παύσῃ πρεσβεύειν, ὑπὲρ τῶν σὲ γεραιρόντων.

Θεοτοκίον, ὅμοιον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

***ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ***

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὅσιε πάτερ Ἀλέξανδρε, ὁ Ἐλεήμων Θεός, τῶν σεπτῶν γεννητόρων σου, τὴν εὐχὴν ἐπήκουσε, καὶ ὡς δῶρόν σε δέδωκε, τούτοις δεικνύων μέλλοντα βίον σου, καὶ πολιτείαν ὄντως ἰσάγγελον, ὡς ἡ ἐξέλιξις,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν πραγμάτων ἔδειξεν ἐπακριβῶς, διὸ σε γεραίρομεν, ὕμνοις καὶ ᾄσμασι.

Πάτερ θεόφρον Ἀλέξανδρε, ἄρας σταυρὸν τοῦ Χριστοῦ, τὸν γλυκύπικρον ὥδευσας, δρόμον τῆς ἀσκήσεως, ὡς ἐνσώματος ἄγγελος· καὶ γὰρ ἐν κρύει καὶ πείνῃ ἀσκούμενος, εἶχες ὡς βρῶσιν καὶ πόσιν σου ἄφθαρτον, μνήμην ζωήῤῥυτον, Ἰησοῦ παρέχοντος ὑπερφυῶς, τοῖς Αὐτὸν λατρεύουσι, δύναμιν ἄνωθεν.

Τὸ ἀδιάφθορον σκῆνός σου, σὲ ὑπηρέτει ἀεί, ἐνασκούμενον Ὅσιε, καὶ καθηγιάζετο, τῆς Τριάδος τῇ Χάριτι, ὅθεν εἰς πεῖσμα ἀθέων δεδόξασται, καὶ μυροβλύζον, διδάσκει τιμώμενον, ὡς ἀδιάστατος, ἡ Ἁγίου Πνεύματος χάρις αὐτοῦ, τοῖς πιστοῖς δωρήματα, πλουσίως δίδωσιν.

Αἴτησαι πάτερ Ἀλέξανδρε, τοῦ ἐν Τριάδι Θεοῦ, Οὗ θεάμων ὑπέρτιμος, γέγονας ὡς ἄξιος, τῆς δοθείσης σοι χάριτος, ὅπως καθάρῃ ἡμῶν αἰσθητήρια, καὶ χορηγήσῃ ἀφθόνως τὴν δύναμιν, ὅπως τηρήσαντες, τὰ Αὐτῆς θελήματα, θεοπρεπῶς, Βασιλείας μέτοχοι, πάντες γενώμεθα.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὁ μὲν προφήτης Μωϋσῆς αἰτήσας τὸν Θεόν οὐκ ἐθεάσατο, σοὶ δὲ πάτερ Ἀλέξανδρε, ὡς ἄλλῳ δικαίῳ Ἀβραάμ, ἐν σχήματι τριῶν ἀγγέλων, ἡ Παναγία Τριὰς ἀπεκαλύφθη. Ἧς καθαρώτατος οἶκος ἐγεγόνεις ἐν πάσῃ ἁγνότητι, ὅθεν καὶ μετὰ θάνατον ἠξίωσαι, τῆς ἀφθαρσίας τοῦ σεπτοῦ σου σκήνους, καὶ τῆς ὑπὲρ φύσιν θαυμαστῆς μυροβλυσίας. Διὸ πανοσιώτατε, ὡς ἔχων πλουσίαν παῤῥησίαν τῶν εὐχῶν, πρέσβευε τῷ Ἐλεήμονι Δεσπότῃ, ὅπως σκηνώματα Αὐτοῦ ποιήσῃ τίμια, τοὺς σὲ τιμῶντας ἐκ πίστεως.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

*Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ Ὁσιακά*
*(βλ.τοῦ ὁσίου Σάββα, 5 Δεκεμβρίου)*

Μεγαλυνάριον

Χαίροις Σβὶρ ἐρήμου ὁ οἰκιστής, καὶ σεπτῆς Τριάδος, ὁ ὑπέρτιμος θεατής· χαίροις ὁ ἐκβλύζων, ἐκ σοῦ ἀφθάρτου σκήνους, καθάπερ ὕδωρ μῦρον, πάτερ Ἀλέξανδρε.

Στίχοι

*Πρέσβευε, Πάτερ, τῇ πανσέπτῳ Τριάδι,*
*Σωθῆναι πάντας τοὺς τιμῶντάς σε πόθῳ.*